Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dso-ab

*Λύσιππος ὁ Κωμικός* · Lysippus the Comic Poet

# Fragments on Athenian Life

*Ἀποσπάσματα περὶ τοῦ Ἀθηναϊκοῦ Βίου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [spk_α]Α. Ἕρμων, τί ἔστι, πῶς ἔχομεν; Β. τί δ' ἄλλο γ' ἤ ὁ πατὴρ ἄνωθεν ἐς τὸ φρέαρ, ἐμοὶ δοκεῖν, ὥσπερ τὸν οἶνον

book 1.2 τοῦ θέρους, καθεικέναι.

book 2 Βλαύτῃ, κοθόρνῳ, Θετταλίδι.

book 3.1 Ἀλλὰ τρίμιτός ἐστι

book 3.2 πλεκτός.

book 4 Αὐτοῖσιν αὐλοῖς ὁρμαὶ καὶ γλωττοκομείῳ.

book 5 Οὐδ' ἀνακνάψας καὶ θειώσας τὰς ἀλλοτρίας ἐπινοίας.

book 1-2.1 Εἰ μὴ τεθέασαι τὰς Ἀθήνας, στέλεχος εἶ, εἰ δὲ τεθέασαι μὴ τεθήρευσαι δ', ὄνος, εἰ δ' εὐαρεστῶν ἀποτρέχεις, κανθήλιος.[ln_3]* * * Αὕτη πόλις ἔσθ' Ἑλληνὶς ἡ ῥόδοις ἴσην[ln_5]εὐωδίαν ἔχουσα χἄμ' ἀηδίαν. τὰ γὰρ Ἁλιεῖα μεγάλην εἰς

book 1-2.2 σχολήν· τὸ δ' ἁλιακὸν ἔτος με μαίνεσθαι

book 1-2.3 ποιεῖ· ὅταν δὲ τὴν λεύκην

book 1-2.4 τις αὐτῶν

book 1-2.5 πρᾳέως ἁλιακὸν εἶναι

book 1-2.6 στέφανον εἴπῃ, πνίγομαι[ln_10]οὕτως ἐπ' αὐτοῖς, ὥστε μᾶλλον ἂν θέλειν ἀποκαρτερεῖν ἢ ταῦτ' ἀκούων καρτερεῖν.

book 1-2.1 τοιοῦτο τῶν ξένων

book 1-2.2 τι καταχεῖται

book 1-2.3 σκότος.

book 3.1 Ἀλλὰ δᾷδας ἡμμένας ἐμοὶ δότω

book 3.2 τις ἔνδοθεν, καὶ κόρους

book 3.3 πλεκτοὺς ἀκραιφνεῖς μυρρίνης.

book 4 Κύων δέ τις ἐβόα δεδεμένος * * ὥσπερ Βούδιος.